συνεχώρουν μεμνῆσθαι καὶ ἔτι νῦν μοι δοκεῖν ταῦτ᾽ εἶναι βέλτιστα. ῥητέον
δέ, ὦ Διονύσιε, καὶ τοὐπὶ τούτῳ τότε λεχθέν. ἠρόμην γὰρ δή σε πότερον
αὐτὸ τοῦτό σοι ξυμβουλεύσαιμι μόνον ἤ τι καὶ ἄλλο πρὸς τούτῳ· σὺ δὲ
καὶ μάλ᾽ ἀπεκρίνω μεμηνιμένως καὶ ὑβριστικῶς εἰς ἐμέ, ὡς ᾤου — διὸ
τὸ τότε σοι ὕβρισμα νῦν ὕπαρ ἀντ᾽ ὀνείρατος γέγονεν — εἶπες δὲ καὶ μάλα
C πλαστῶς γελῶν, εἰ μέμνημαι, ὡς ‘παιδευθέντα με ἐκέλευες ποιεῖν πάντα
ταῦτα ἢ μὴ ποιεῖν’. ἔφην ἐγὼ κάλλιστα μνημονεῦσαί σε. ‘οὐκοῦν παιδευ-
θέντα’ ἔφησθα ‘γεωμετρεῖν, ἢ πῶς;’ κἀγὼ τὸ μετὰ ταῦτα ὃ ἐπῄει μοι
εἰπεῖν οὐκ εἶπον, φοβούμενος μὴ σμικροῦ ῥήματος ἕνεκα τὸν ἔκπλουν ὃν
προσεδόκων, μή μοι στενὸς γίγνοιτο ἀντ᾽ εὐρυχωρίας. ἀλλ᾽ οὖν ὧν ἕνεκα
πάντ᾽ εἴρηται ταῦτ᾽ ἐστί· μή με διάβαλλε λέγων ὡς οὐκ εἴων ἐγώ σε πό-
λεις Ἑλληνίδας ἐρρούσας ὑπὸ βαρβάρων οἰκίζειν, οὐδὲ Συρακουσίους ἐπι-
D κουφίσαι βασιλείαν ἀντὶ τυραννίδος μεταστήσαντα. τούτων γὰρ οὔθ᾽ ἧττον
ἐμοὶ πρέποντα ἔχοις ἄν ποτε λέγων μου καταψεύσασθαι, πρὸς δὲ τούτοις
ἔτι σαφεστέρους τούτων εἰς ἔλεγχον λόγους ἐγὼ δοίην ἄν, εἴ τις ἱκανή που
φαίνοιτο κρίσις, ὡς ἐγὼ μὲν ἐκέλευον, σὺ δ᾽ οὐκ ἤθελες πράττειν αὐτά·
καὶ μὴν οὐ χαλεπὸν εἰπεῖν ἐναργῶς ὡς ἦν ταῦτα ἄριστα πραχθέντα καὶ
E σοὶ καὶ Συρακοσίοις καὶ Σικελιώταις πᾶσιν. ἀλλ᾽ ὦ τᾶν, εἰ μὲν μὴ φῂς
εἰρηκέναι εἰρηκὼς ταῦτα, ἔχω τὴν δίκην· εἰ δ᾽ ὁμολογεῖς, τὸ μετὰ τοῦτο
ἡγησάμενος εἶναι σοφὸν τὸν Στησίχορον, τὴν παλινῳδίαν αὐτοῦ μιμησά-
μενος, ἐκ τοῦ ψεύδους εἰς τὸν ἀληθῆ λόγον μετάστηθι.

## Δ′

**320** Πλάτων Δίωνι Συρακοσίῳ εὖ πράττειν.

Οἶμαι μὲν φανερὰν εἶναι διὰ παντὸς τοῦ χρόνου τὴν ἐμὴν προθυμίαν
περὶ τὰς συμβεβηκυίας πράξεις, καὶ ὅτι πολλὴν εἶχον περὶ αὐτῶν σπουδὴν
εἰς τὸ ξυμπερανθῆναι, οὐκ ἄλλου τινὸς ἕνεκα μᾶλλον ἢ τῆς ἐπὶ τοῖς καλοῖς
B φιλοτιμίας· νομίζω γὰρ δίκαιον εἶναι τοὺς ὄντας τῇ ἀληθείᾳ ἐπιεικεῖς καὶ
πράττοντας τοιαῦτα τυγχάνειν δόξης τῆς προσηκούσης. τὰ μὲν οὖν εἰς
τὸ παρόν, σὺν θεῷ εἰπεῖν, ἔχει καλῶς, τὰ δὲ περὶ τῶν μελλόντων ὁ μέγι-